# XIII

## ΑΠΑΡΑΣΗΜΑ

1 (Dion. Halic. *De Isaeo* 13, p. 609).

Καὶ οὗτος ὁ πάντων ἀνθρώπων σχετλιώτατος, οὐ παρεχομένων αὐτῶν μάρτυρας [δοῦναι], ὧν ἐναντίον ἡμῖν ἀποδοῦναί φασιν, [ὧν] ἐκείνοις πιστεύειν προσποιεῖται μᾶλλον ὡς ἀποδεδώκασιν ἡμῖν, ἢ ⟨ἡμῖν⟩ ὡς οὐκ ἀπειλήφαμεν. Καίτοι πᾶσι φανερόν, [ὡς] οἵ γε τὸν τούτου πατέρα ἀπεστέρουν ὄντα ἐπίτιμον, ὅτι ἡμῖν ἑκόντες οὐκ ἂν ἀπέδοσαν, εἰσπράξασθαι ⟨δ'⟩ οὕτως ἔχοντες οὐκ ἂν ἐδυνήθημεν.

2 (Dion. Halic. *De Isaeo* 13, p. 610).

Ὧι γάρ, ἃ μὲν ὑπῆρχεν ἔξω τῶν ἀποτιμηθέντων, κατελελητούργητο, δανειζομένῳ δ' οὐδεὶς ἂν ἔδωκεν ἐπ' αὐτοῖς ἔτι πλέον οὐδὲν ἀποδεδωκότι τὰς μισθώσεις, ἔχειν ⟨δ' ἐκεῖνα⟩ ἐμοὶ προσῆκον ἀναμφισβητήτως, οὗτοι τηλικαύτην δίκην λαχόντες καὶ σφέτερα αὐτῶν εἶναι φάσκοντες ἐκώλυσάν με ἐξ αὐτῶν ποιήσασθαι τὴν ἐπισκευήν.

3 (Suidas, *s. v.* αἰσθέσθαι, t. I 2, p. 55 ed. Bernhardy).

Τί δ' ἐπὶ τοιούτων δεῖ μαρτυριῶν, ⟨ὧν⟩ οἱ δικάζοντες τὰ μὲν αὐτοί εἰσιν εἰδότες, ὅτι ὑγίαινεν ὁ παῖς, ⟨τὰ δὲ⟩ τῶν ἑωρακότων αἰσθανόμενοι μαρτυρούντων, τὰ δὲ ἀκοῇ πυνθανόμενοι;